τὸν Ἀγαμεμνόνιον ἐπὶ δόμον.
ὑπὸ γὰρ ἀλγέων ὑπό τε συμφορᾶς
διοιχόμεϑ', οἰχόμεϑα. κτύπον ἠγάγετ'· οὐχὶ σῖγα
σῖγα φυλασσομένα
στόματος ἀνακέλαδον ὄπα λέχεος ἥ-
συχον ὕπνου χάριν παρέξεις, φίλα;

ΧΟ. ϑρόει τίς κακῶν τελευτὰ μένει. antistr.
ΗΛ. ϑανεῖν ⟨ϑανεῖν⟩, τί δ' ἄλλο;
οὐδὲ γὰρ πόϑον ἔχει βορᾶς.
ΧΟ. πρόδηλος ἆρ' ὁ πότμος.
ΗΛ. ἐξέϑυσ' ὁ Φοῖβος ἡμᾶς
μέλεον ἀπόφονον αἷμα δοὺς
πατροφόνου ματρός.
ΧΟ. δίκᾳ μέν. ΗΛ. καλῶς δ' οὔ.
ἔκανες ἔϑανες, ὦ
τεκομένα με μᾶτερ, ἀπὸ δ' ὤλεσας
πατέρα τέκνα τε τάδε σέϑεν ἀφ' αἵματος·
ὀλόμεϑ' ἰσονέκυες, ὀλόμεϑα.
σύ τε γὰρ ἐν νεκροῖς, τό τ' ἐμὸν οἴχεται
βίου τὸ πλέον μέρος ἐν στοναχαῖσί τε καὶ γόοισι
δάκρυσί τ' ἐννυχίοις·

---

179 ἀγαμεμνόνειον, ῐ supra ει eraso, *E*, ἀγαμεμνόνειον ceteri | ἐπὶ δόμον γρ. καὶ επιδόμων *A*, ἐπὶ δόμον *B*, γρ. γόνον superscr. *b* 181 διοιχόμεϑ' οἰχόμεϑα *F*, διοιχόμεσϑ' οἰχόμεσϑα *OS* | ante κτύπον lineolam habet *L*, Electrae notam exhibent *BE* et cum schol. in marg. καὶ τοῦτο κατὰ ἀναφώνησιν λέγει ἡ ἠλέκτρα *a*². Idem scholium habet *A*, in quo chori notam ante οὐχί, Electrae ante σίγα σίγα inseruit *A*². Ante οὐχί chori et ante σίγα σίγα (σῖγα σῖγα *S*) Electrae notam habent etiam *AEG*, ante οὐχί lineolam exhibet *L* 185 διὰ στόματος *L* | ἀνὰ κέλαδον *AaS* | ὄπα] scripsi, ἄπο (vel ἀπὸ) libri | λέχεος] fort. λεχαῖον | ἄσυχον Dindorf 186 χάριν] τὴν ἀπὸ τῆς κοίτης ὕπνου χάριν schol., χαρὰν libri | ὦ φίλα libri (etiam *B*), φίλοις Hartung 188 ϑανεῖν supplevit Lachmann | ἄλλο γ' *L* et in marg. *a*, ἄλλο γ' εἴποις *F* 189 οὔτε *A* 190 ἆρ' *L*, ἆρ vel ἄρ' ceteri 191 ἐξέϑυσ' ὁ] ἐξέϑυσεν King 193 ματρός recentiores nonnulli, ματέρος *OS* 194 δίκᾳ] schol. metr. i. e. Triclinius (δίκα ἐνταῦϑα γράφε, μὴ δίκαια), δίκαια libri | *ΗΛ.* non hic, sed ante proximum v. habent libri, correxit Seidler, cfr. schol. ἐν δὲ τῷ ὑπομνήματι καὶ ταῦτα τῆς Ἠλέκτρας 195 ὦ ″ϑανες *G* 199 τε om. *EL* 200 ὀλόμεσϑ' *E* | ὀλόμεϑ' ὀλόμεϑ' ἶσον νέκυες *B* | ἰσονέκυ' Porson 201 τὸ δ' *E* 204 στοναχαῖσι τὲ καὶ γόοις om. in textu, add. in marg. *E* | στοναχαῖς *L*, στονάχεσι *A*, στοναχέσι *A*² | γόοισι] Heath, γόοις libri | fort. στοναχαῖς τε παναμέροισι 205 om. *G*, supra v. add. *g* | δάκροισι *g*